κοῦς καὶ μερίμνης, καὶ κέρδος ἔχων οὐδὲν, οὐδὲ καρπὸν τῶν τοσούτων κακῶν οὐδένα φέρων, ἀλλ' ἢ κόλασιν, καὶ τιμωρίαν καὶ τὸ διηνεκῶς βασανίζεσθαι. καίπερ τοιοῦτος ὢν ζηλωτὸς εἶναι τοῖς πολλοῖς δοκεῖ καὶ περιμάχητος, ὃ τῆς ἀνοίας τῶν ἁλισκομένων ἐστὶν, οὐ τῆς τοῦ πράγματος μακαριότητος· ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ πρὸς μὲν τὰ ἀθύρματα κέχηνε καὶ ἐπτόηται, τῶν δὲ τελείοις ἀνδράσι πρεπόντων πραγμάτων οὐδὲ αἴσθησιν λαβεῖν δύναιτ' ἄν. ἀλλ' ἐκείνοις μὲν συγγνώμη διὰ τὸ τῆς ἡλικίας ἄωρον, οὗτοι δὲ ἀπολογίας ἐκβέβληνται, ἐν ἡλικίᾳ τελείᾳ παιδικὴν ἔχοντες γνώμην, κἀκείνων ἀνοητότερον διακείμενοι.

*nullum tantorum laborum fructum afferat, nisi pœnam ac supplicium, & æternos cruciatus. Ac licet eiusmodi sit, multis tamen beata videtur, & maximè appetenda, quod amentiæ captorum, non beatitati rei dandum est. Nam & parui pusiones dediti intentiq; sunt ludicris, negotia verò adultis viris digna ne percipere quidem possunt. Verùm his quidem ob immaturam ætatem venia concedenda est; illi verò omni excusatione carent, in integra ætate puerilem animum gerentes, illisqúe dementiores.*

Διὰ τί γὰρ ζηλωτὸν ὁ πλοῦτος, εἰπέ μοι; καὶ γὰρ ἀναγκαῖον ἐντεῦθεν προοιμιάσασθαι, ἐπειδὴ ὑγείας

*Dic mihi, quamobrem expetendæ sunt diuitiæ? nam hinc exordiendum est, quoniam*